πρὸς τὸν Θ· καὶ ὡς ἄρα ἡ Γ μονὰς πρὸς τὸν Ζ ἀριθμόν, οὕ-
τως ὁ Ζ πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Α. διὰ τὰ αὐτὰ δὴ
καὶ ὡς ἡ Γ μονὰς πρὸς τὸν
Η ἀριθμόν, οὕτως ὁ Η πρὸς
τὸν Λ καὶ ὁ Λ πρὸς τὸν Β. ὅσοι
ἄρα εἰς τοὺς Α Β μεταξὺ κα-
τὰ τὸ συνεχὲς ἀνάλογον
ἐμπεπτώκασιν ἀριθμοί,
τοσοῦτοι καὶ ἑκατέρου τῶν
Α Β καὶ μονάδος τῆς Γ
μεταξὺ κατὰ τὸ συνεχὲς
ἀνάλογον ἐμπεπτώκα-
σιν ἀριθμοί· ὅπερ ἔδει δεῖξαι:—

ὡς ἡ μονὰς πρὸς τὸν Ζ, οὕτως ὁ Ζ πρὸς τὸν Θ, ὁ Θ πρὸς τὸν Α



ι̅ Ἐὰν δύο ἀριθμῶν καὶ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς
ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί, ὅσοι ἑκατέρου αὐ-
τῶν καὶ μονάδος ἑξῆς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνά-
λογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς αὐ-
τοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται· δύο
γὰρ ἀριθμῶν τῶν Α Β καὶ μονάδος τῆς Γ μεταξὺ κα-
τὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτωσαν ἀριθμοὶ οἵ
τε Δ Ε καὶ οἱ Ζ Η· λέγω ὅτι ὅσοι ἑκατέρου τῶν Α Β καὶ μο-
νάδος τῆς Γ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμ-
πεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς Α Β μετα-
ξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται. ὁ Δ
γὰρ τὸν Ζ πολλαπλασιάσας τὸν Θ ποιείτω. ἑ-
κάτερος δὲ τῶν Δ Ζ τὸν Θ πολλαπλασιάσας. ἑ-

κάτερον τῶν Κ Λ ποιείτω. καὶ ἐπεί ἐστιν ὡς ἡ Γ μονὰς πρὸς
τὸν Δ ἀριθμόν, οὕτως ὁ Δ πρὸς τὸν Ε· ἰσάκις ἄρα ἡ Γ
μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ Δ τὸν Ε. ἡ δὲ Γ μονὰς
τὸν Δ ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας. καὶ
ὁ Δ ἀριθμὸς τὸν Ε μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας·
ὁ Δ ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίη-
κεν. πάλιν ἐπεί ἐστιν ὡς ἡ Γ μονὰς πρὸς τὸν Δ ἀ-
ριθμόν, οὕτως ὁ Ε πρὸς τὸν Α· ἰσάκις ἄρα ἡ Γ μονὰς
τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ Ε τὸν Α. ἡ δὲ Γ μονὰς τὸν
Δ ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας. καὶ ὁ Ε
ἄρα τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὁ Δ ἄ-
ρα τὸν Ε πολλαπλασιάσας τὸν Α πεποίηκεν. διὰ
τὰ αὐτὰ δὴ καὶ ὁ μὲν Ζ ἑαυτὸν πολλαπλασιάσας τὸν Η
πεποίηκεν. τὸν δὲ Η πολλαπλασιάσας τὸν Β πε-
ποίηκεν. καὶ ἐπεὶ ὁ Δ ἑαυτὸν μὲν πολλαπλασιάσας
τὸν Ε πεποίηκεν. τὸν δὲ Ζ πολλαπλασιάσας τὸν Θ
πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Ε ηα ιζ ζ
πρὸς τὸν Θ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕ-
τως ὁ Θ πρὸς τὸν Η. καὶ ὡς ἄρα ὁ Ε πρὸς τὸν Θ, οὕτως
ὁ Θ πρὸς τὸν Η. πάλιν ἐπεὶ ὁ Δ ἑκάτερον τῶν Ε Θ πολ-
λαπλασιάσας ἑκάτερον τῶν Α Κ πεποίηκεν, ἔστιν
ἄρα ὡς ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Κ. ἀλλ' ὡς
ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Δ πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Δ ηα ιζ ζ
πρὸς τὸν Ζ, οὕτως ὁ Α πρὸς τὸν Κ. πάλιν ἐπεὶ ἑκά-
τερος τῶν Ζ Δ τὸν Θ πολλαπλασιάσας ἑκάτερον
τῶν Κ Λ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὐ- ηα ιζ ζ